19 πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μαλακίᾳ ἐπὶ κοίτης
※καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν,↙
20 πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι
※καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει,↙
21 ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες
καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά·
22 ἤγγισεν δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ,
ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ.
23 ἐὰν ὦσιν χίλιοι ἄγγελοι θανατηφόροι,
εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν·
ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ κύριον,
ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν,
τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ,
24 ἀνθέξεται τοῦ μὴ πεσεῖν αὐτὸν εἰς θάνατον,
ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου,
τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ·
25 ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου,
ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.
26 εὐξάμενος δὲ πρὸς κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται,
εἰσελεύσεται δὲ προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ·
ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην.
27 εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων
Οἷα συνετέλουν, καὶ οὐκ ἄξια ἤτασέν με ὧν ἥμαρτον.
28 ※σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν,
※καὶ ἡ ζωή μου φῶς ὄψεται.
29 ※ἰδοὺ πάντα ταῦτα ἐργᾶται ὁ ἰσχυρὸς
※ὁδοὺς τρεῖς μετὰ ἀνδρός.↙
30 ἀλλ᾽ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου,
ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν.

**19$^1$** εν] επι B†, > AV† || **20$^2$** επιθυμει pl. || **22$^1$** εγγιση AV† | εις θαν./η ψ. αυτου] tr. AC† (C mu. αυτου η ψ. pro η ψ. αυτου) | 22$^2$ η δε] + η B*† | αδη] pr. τω A || **23$^2$** αυτων] pr. εξ A | 23$^3$ επι] προς B* | κυριον] pr. τον AV† | 23$^5$ την δε] και την AV†: cf. 3 12 | ανοιαν] ανομιαν S$^c$ pl. || **24$^1$** ανθεξ.] + αυτου AV† | αυτον > BS*† | 24$^3$ τα δε] και τα AV†: cf. 3 12 || **25$^2$** αποκ. δε] και αποκ. AV†: cf. 3 12 || **26$^1$** ευξαμενος δε] δε > S*†, ευξεται AV†, ευξαμενου δε αυτου S$^c$ | και > S | δεκτα αυτω εσται] εισακουσεται αυτου S*† | 26$^2$ καθαρω] ιλαρω BS*† | 26$^3$ ανθρωπω την δικαιοσυνην αυτου AV†: = 𝔐 || **27$^2$** συνετελουμην AV(-μεν)† | ητασεν] ητοιμασεν S*† || **28$^1$** ψυχην] pr. την AV† | ελθειν] pr. εξ A†, pr. εισ V | 28$^2$ η > AV† || **29$^1$** παντα ταυτα V] tr. BSA pl. || **30$^1$** αλλ] και AV† | 30$^2$ ζωη] ψυχη AS$^c$V† || post **30** AV† primo addunt 34 1—5 ιωβ iuxta ueterem interpretationem (i. e. omissis uersibus 3. 4, qui Theodotionis sunt): υπολαβων δε ελιους λεγει· ακουσατε μου σοφοι, επισταμενοι ενωτιζεσθαι(pro -θε) το καλον. οτι ειρηκεν ιωβ(> V); deinde AV† addunt 33 29. 30 iuxta interpretatio-